M.
THOMAS NICOLSON.

ΔΗΜΟΣΘΕΝΟΥΣ κατὰ συνίδα.

Ημοσθένης Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τὸ δῆμον παρανιβὺς, ἐπιμελὴς μᾶλλον ἢ δυφυὴς, ὡς Ἕρμιππος ἱστορεῖ. καὶ τὰς ἡδονὰς ἀκόλαστος, ὡς αὐτὸς φησιν. ὅθεν καὶ νέος μὲν ὢν, βαλανεῖ ἐκλήθη, ὡς γυναικείᾳ ἐοικὼς πολλάκις χρησάμενος. ἀργὰς δὲ μιξὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἔστιν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς, καὶ μίξαντα τὸν θεασάμενος τὴν ῥήτορα ὑπὲρ ὡρωπίων λέγοντα. διήκουσε δὲ τοῦ Ἰσαίου, τοῦ Ἰσοκράτους μαθητοῦ. καὶ τοῖς λόγοις ἐχρῆτο ζωίλου τοῦ ἀμφιπολίτου, σοφιστεύοντος ἐν Ἀθήναις, καὶ πολυκράτους, καὶ Ἀλκιδάμαντος τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέν τοι Ἰσοκράτους. σωεφιλολόγησε δὲ αἰσίωνι τῷ Ἀθηναίῳ, καὶ θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ. διήκροασατο δὲ καὶ βοιδλίδου τοῦ διαλεκτικοῦ, καὶ πλάτωνος. ἐπελθύτησε, φυγὼν εἰς καλαυρίαν, ἐν τῷ τοῦ ποσειδῶνος ἱερῷ, ἀφ᾽ οὗ μακεδόνα αὐτὶ πατρὸν, προσενεγκάμενος φάρμακον ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας δύο καὶ ἑξήκοντα. Δημοσθένης ὁ ῥήτωρ, αὐτὸς μὲν γνῶναί τε καὶ εἰπεῖν ὅσα ἐνθυμηθείη, δεινότατος γενόμενος. ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ᾽ αὑτὸν, οἷα δὴ ἱκανώτατος τὰ ἀφανῆ εἰκάσαι, καὶ τὸ γνωσθὲν ὑφηγήσασθαι. καὶ ἐν οἷς ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε, καιρῷ μὲν ἐπιτηδείῳ τὰ μάλα ἐχρήσατο εἰς δόξαν τῶν δημαγωγούντων. ὠλέησε δὲ ἕνεκα τοῦ τὸν καθ᾽ αὑτὸν ἀθη-